ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ
λαθόντες ὄμμα τοὐμὸν αἴρεσθαι φυγὴν
μέλλουσι· σαίνει μ᾽ ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ᾽ εὐτυχοῦντ᾽ ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ᾽ ἀναλῶσαι δορί.
εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὐκ ἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦν πρόθυμος ἱέναι δόρυ
ἐν νυκτὶ χρῆσθαί τ᾽ εὐτυχεῖ ῥύμῃ θεοῦ·
ἀλλ᾽ οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος,
κἄπειτ᾽ Ἀχαιῶν μηδέν᾽ ἐν χέρσῳ λιπεῖν.
οἳ δ᾽ οὐ μένουσι τῶν ἐμῶν θυοσκόων
βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
ἀλλ᾽ ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ
τεύχη πρόχειρα λαμβάνειν λῆξαί θ᾽ ὕπνου,
ὡς ἄν τις αὐτῶν καὶ νεῶν θρώσκων ἔπι
νῶτον χαραχθεὶς κλίμακας ῥάνῃ φόνῳ,
οἳ δ᾽ ἐν βρόχοισι δέσμιοι λελημμένοι
Φρυγῶν ἀρούρας ἐκμάθωσι γαπονεῖν.
ΧΟ. Ἕκτορ, ταχύνεις πρὶν μαθεῖν τὸ δρώμενον·
ἄνδρες γὰρ εἰ φεύγουσιν οὐκ ἴσμεν τορῶς.
ΕΚ. τίς γὰρ πύρ᾽ αἴθειν πρόφασις Ἀργείων στρατόν;
ΧΟ. οὐκ οἶδ᾽· ὕποπτον δ᾽ ἐστὶ κάρτ᾽ ἐμῇ φρενί.
ΕΚ. πάντ᾽ ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.
ΧΟ. οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.
ΕΚ. οὐδ᾽ ὧδέ γ᾽ αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.
ΧΟ. σὺ ταῦτ᾽ ἔπραξας· καὶ τὰ λοιπὰ νῦν σκόπει.
ΕΚ. ἁπλοῦς ἐπ᾽ ἐχθροῖς μῦθος ὁπλίζειν χέρα.

54. φυγήν] Stephanus, φυγῇ libri. 65. μοι BCb 66. ἔφησαν Bb ἔφασαν Cc εἶναι *ABC* 68. θυοσκόπων *ABC* 72. νεώς *ABC* 74. λελειμμένοι b λελημμένοι c λελησμένοι reliqui. 75. γηπονεῖν *ABC* 78. πύρ᾽ αἴθειν] Hartungius, πυραίθειν vel πῦρ αἴθειν libri. 84. χέρας *BC*